ἐμισθώσαντο ἑαυτοῖς δύο καὶ τριάκοντα χιλιάδας ἁρμάτων καὶ τὸν
βασιλέα Μωχα καὶ τὸν λαὸν αὐτοῦ καὶ ἦλθον καὶ παρενέβαλον
κατέναντι Μαιδαβα, καὶ οἱ υἱοὶ Αμμων συνήχθησαν ἐκ τῶν πόλεων
αὐτῶν καὶ ἦλθον εἰς τὸ πολεμῆσαι. [8]καὶ ἤκουσεν Δαυιδ καὶ ἀπέ- 8
στειλεν τὸν Ιωαβ καὶ πᾶσαν τὴν στρατιὰν τῶν δυνατῶν. [9]καὶ ἐξ- 9
ῆλθον οἱ υἱοὶ Αμμων καὶ παρατάσσονται εἰς πόλεμον παρὰ τὸν
πυλῶνα τῆς πόλεως, καὶ οἱ βασιλεῖς οἱ ἐλθόντες παρενέβαλον καθ᾽
ἑαυτοὺς ἐν τῷ πεδίῳ. [10]καὶ εἶδεν Ιωαβ ὅτι γεγόνασιν ἀντιπρόσω- 10
ποι τοῦ πολεμεῖν πρὸς αὐτὸν κατὰ πρόσωπον καὶ ἐξόπισθεν, καὶ
ἐξελέξατο ἐκ παντὸς νεανίου ἐξ Ισραηλ, καὶ παρετάξαντο ἐναντίον
τοῦ Σύρου · [11]καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Αβεσσα 11
ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξ ἐναντίας υἱῶν Αμμων. [12]καὶ 12
εἶπεν Ἐὰν κρατήσῃ ὑπὲρ ἐμὲ Σύρος, καὶ ἔσῃ μοι εἰς σωτηρίαν,
καὶ ἐὰν υἱοὶ Αμμων κρατήσωσιν ὑπὲρ σέ, καὶ σώσω σε · [13]ἀνδρί- 13
ζου καὶ ἐνισχύσωμεν περὶ τοῦ λαοῦ ἡμῶν καὶ περὶ τῶν πόλεων
τοῦ θεοῦ ἡμῶν, καὶ κύριος τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιήσει.
[14]καὶ παρετάξατο Ιωαβ καὶ ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ κατέναντι Σύρων 14
εἰς πόλεμον, καὶ ἔφυγον ἀπ᾽ αὐτοῦ. [15]καὶ οἱ υἱοὶ Αμμων εἶδον ὅτι 15
ἔφυγον Σύροι, καὶ ἔφυγον καὶ αὐτοὶ ἀπὸ προσώπου Ιωαβ καὶ ἀπὸ
προσώπου Αβεσσα τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἦλθον εἰς τὴν πόλιν.
καὶ ἦλθεν Ιωαβ εἰς Ιερουσαλημ. — [16]καὶ εἶδεν Σύρος ὅτι ἐτρο- 16
πώσατο αὐτὸν Ισραηλ, καὶ ἀπέστειλεν ἀγγέλους, καὶ ἐξήγαγον τὸν
Σύρον ἐκ τοῦ πέραν τοῦ ποταμοῦ, καὶ Σωφαχ ἀρχιστράτηγος δυνά-
μεως Αδρααζαρ ἔμπροσθεν αὐτῶν. [17]καὶ ἀπηγγέλη τῷ Δαυιδ, καὶ 17
συνήγαγεν τὸν πάντα Ισραηλ καὶ διέβη τὸν Ιορδάνην καὶ ἦλθεν
ἐπ᾽ αὐτοὺς καὶ παρετάξατο ἐπ᾽ αὐτούς, καὶ παρατάσσεται Σύρος
ἐξ ἐναντίας Δαυιδ καὶ ἐπολέμησαν αὐτόν. [18]καὶ ἔφυγεν Σύρος ἀπὸ 18
προσώπου Δαυιδ, καὶ ἀπέκτεινεν Δαυιδ ἀπὸ τοῦ Σύρου ἑπτὰ χιλι-
άδας ἁρμάτων καὶ τεσσαράκοντα χιλιάδας πεζῶν · καὶ τὸν Σωφαχ
ἀρχιστράτηγον δυνάμεως ἀπέκτεινεν. [19]καὶ εἶδον παῖδες Αδρααζαρ 19
ὅτι ἐπταίκασιν ἀπὸ προσώπου Ισραηλ, καὶ διέθεντο μετὰ Δαυιδ

7 εαυτοις(ε>S†)] + αρματα και ιππεις BS†: ex 6 repet. | μαιδαβα B†] βαιδ. S†, μηδαβα Apl.; pr. του A | οι υιοι] οι > A: item in 9, cf. 12 || 10 γεγοναν S*A† | εξ > A | παρεταξατο Apl.: cf. 11 || 11 αδελφου] pr. του SL† | παρεταξαντο BS†] ν > rel.: cf. 10 || 12 συρος] pr. ο A^c compl. | υιοι pr. οι S: cf. 7 || 13 init. — ημων 2^0 > BS† | εν οφθ. αυτου > BS | ποιησαι S† || 15 αβεσσα του > BS† | αυτου] -των S† | ηλθον] pr. εισ A || 16 απεστειλεν] -λαν BS^c | σωφαχ A^(†)] εσωφαχ S^c†, σωφαρ BV†, εσωφαρ S*†: cf. 18 | αδρααζαρ] εδρ. S*†: in 19 S deest, cf. adnotatio ad initium huius libri; A ubique αδραζαρ, cf. 18 3 || 17 παρεταξαντο S† | επ 2^0 BSL†] προς rel. | παρατασσεται] παρεταξατο S† | συρος εξ εν. δαυιδ BS†] δ. εξ εν. του συρου rel. (+ εις πολεμον L): cf. Regn. II 10 17 | επολεμησεν SA || 18 σωφαχ Gra. (cf. 16)] σοφαχ unus cod. cum B cognatus, σαφαθ B†, σωβαχ A | αρχιστρατ.] pr. τον AV† | fin. απεκτειναν A†